metu viuant vt velint. permulti enim huiuſmodi ſtatum ciuitatis amabunt, cùm pleriſque dulcius ſit diſſolutè viuere quàm modeſtè.

CAPVT V.

Eſt autem opus legis poſitoris, & eorum qui volunt ſtatum aliquem talem conſiſtere. nam vt conſtituatur talis ſtatus, non magnum negocium eſt, neque ſolum ſed magis vt ſeruetur. vno enim vel duobus vel tribus diebus permanere, quomodocunque gubernantibus, haud difficile eſt. Quapropter opus eſt ex his, quas ſuprà retulimus, conſeruationibus & corruptelis rerumpublicarum, cautelam aſſumere, cauendo illa quæ corruptiua ſunt, ac leges tales ponendo, & ſine ſcripto & ſcriptas, quę conſeruationes ſtatus maximè comprehendant. neque putare id eſſe populare, neque paucorum potentiæ, quod efficiat ciuitatem maximè à multis vel à paucis gubernari, ſed quod quàm plurimo tempore. At nunc ij, qui ſunt potentes in populis, gratificantes multitudini, multa populariter agunt per publicationes bonorum in iudiciis factas. Quare oportet eos qui curam ſalutis habent reipublicæ, contrà moliri, leges ponendo, vt damnatorum bona ſacra ſint, & non in publicum ſed in ſacrum referantur. hæc enim lex nihilominus iniurias compeſcet. nam pœna eadem erit. populus autem minus cupidè damnabit, cùm nihil ſit vtilitatis ex damnatione ſuſcepturus. Inſuper publicas accuſationes quàm rariſſimas facere, magna pœna conſtituta aduerſus eos, qui falsò accuſarint. non enim populares in iudicium vocari conſueuerunt, ſed nobiles. Oportet autem erga ſtatum reipublicæ, quantum fieri poteſt, omnes reddere beneuolos, quòd ſi id fieri nequeat, ſaltem conari, ne hoſtes exiſtiment eos qui gubernant. Cùm verò poſtremæ illæ ſpecies gubernationum popularium in multitudine conſiſtant, ac difficile ſit vt concionibus vacare poſſint ſine alicuius mercedis ſuſceptione, hoc autem niſi reditus habeat ciuitas, maximè inimicum eſt præſtantibus viris. Nam ex tributo & publicatione bonorum, & ex iudiciorum improbitate neceſſe eſt prouenire, quod multas iam popularium reſpublicas ſubuertit. Vbi ergo publici reditus non ſunt, facere oportet conciones raras, & iudicia magna quidem, ſed paucis diebus duratura. hoc autem confert ad illud, quòd nō formidabunt impēſas opulenti,

A καὶ γυναικῶν, καὶ παίδων· καὶ τὸ ζῆν ὅπως τις βούλεται, παρορᾶν· πολὺ γὰρ ἔσται τὸ τῇ τοιαύτῃ πολιτείᾳ βοηθοῦν. ἥδιον γὰρ τοῖς πολλοῖς τὸ ζῆν ἀτάκτως, ἢ τὸ σωφρόνως.

Κεφάλαιον ε.

Ἔστι δ᾽ ἔργον τοῦ νομοθέτου καὶ τῶν βουλομένων συνιστάναι τινὰ τοιαύτην πολιτείαν, οὐ τὸ καταστῆσαι μέγιστον ἔργον, οὐδὲ
B μόνον ἕν, ἀλλ᾽ ὅπως σώζηται μᾶλλον· μίαν γὰρ, ἢ δύο, ἢ τρεῖς ἡμέρας, οὐ χαλεπὸν μεῖναι, πολιτευομένοις ὁπωσοῦν. διὸ δεῖ περὶ ὧν τεθεώρηται πρότερον, τίνες σωτηρίαι καὶ φθοραὶ τῶν πολιτειῶν, ἐκ τούτων πειρᾶσθαι κατασκευάζειν τὴν ἀσφάλειαν· εὐλαβουμένοις μὲν τὰ φθείροντα, τιθεμένοις δὲ τοιούτοις νόμοις καὶ τοῖς ἀγράφοις καὶ τοῖς γεγραμμένοις, οἳ περιλήψονται μάλιστα τὰ σώζοντα τὰς
C πολιτείας· καὶ μὴ νομίζειν τοῦτ᾽ εἶναι δημοτικὸν, μηδ᾽ ὀλιγαρχικὸν, ὃ ποιήσει τὴν πόλιν ὅτι μάλιστα δημοκρατεῖσθαι, ἢ ὀλιγαρχεῖσθαι· ἀλλ᾽ ὃ πλεῖστον χρόνον. οἱ δὲ νῦν δημαγωγοὶ, χαριζόμενοι τοῖς δήμοις, πολλὰ δημεύουσι διὰ τῶν δικαστηρίων· διὸ δεῖ πρὸς ταῦτα ἀντιπράττειν τοὺς κηδομένους τῆς πολιτείας, νομοθετοῦντας μηδὲν εἶναι δημόσιον
D τῶν καταδικαζομένων καὶ φερόντων πρὸς τὸ κοινὸν, ἀλλ᾽ ἱερόν. οἱ μὲν γὰρ ἀδικοῦντες, οὐδὲν ἧττον εὐλαβεῖς ἔσονται· ζημιώσονται γὰρ ὁμοίως. ὁ δ᾽ ὄχλος ἧττον καταψηφιεῖται τῶν κρινομένων, λήψεσθαι μηδὲν μέλλων. ἔτι δὲ τὰς γινομένας δημοσίας δίκας, ὡς ὀλιγίστας ἀεὶ ποιεῖν, μεγάλοις ἐπιτιμίοις τοὺς εἰκῇ γραφομένους κωλύοντας. οὐ γὰρ τοὺς δημοτικοὺς,
E ἀλλὰ τοὺς γνωρίμους εἰώθασιν εἰσάγειν. δεῖ δὲ καὶ τῇ πολιτείᾳ πάντας μάλιστα μὲν εὔνους εἶναι τοὺς πολίτας· εἰ δὲ μὴ, μή τι γε ὡς πολεμίους νομίζειν τοὺς κυρίους. ἐπεὶ δ᾽ αἱ τελευταῖαι δημοκρατίαι πολυάνθρωποί τέ εἰσι, καὶ χαλεπὸν ἐκκλησιάζειν ἀμίσθοις, τοῦτο δ᾽ ὅπου πρόσοδοι μὴ τυγχάνουσιν οὖσαι, πολέμιον τοῖς γνωρίμοις· ἀπό
F τε γὰρ εἰσφορᾶς καὶ δημεύσεως ἀναγκαῖον γίνεσθαι καὶ δικαστηρίων φαύλων· ἃ πολλὰς ἤδη δημοκρατίας ἀνέτρεψεν· ὅπου μὲν οὖν πρόσοδοι μὴ τυγχάνωσιν οὖσαι, δεῖ ποιεῖν ὀλίγας ἐκκλησίας, καὶ δικαστήρια, πολλῶν μὲν, ὀλίγας δ᾽ ἡμέρας. τοῦτο γὰρ φέρει μὲν καὶ πρὸς τὸ μὴ φοβεῖσθαι τοὺς πλουσίους τὰς δαπάνας,